# Πρὸς Φιλήμονα

Παῦλος δέσμιος[1] χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος[2] ὁ ἀδελφός, Φιλήμονι[3] 1
τῷ ἀγαπητῷ καὶ συνεργῷ[4] ἡμῶν, καὶ Ἀπφίᾳ[5] τῇ ἀγαπητῇ, καὶ 2
Ἀρχίππῳ[6] τῷ συστρατιώτῃ[7] ἡμῶν, καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ: 3
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ
χριστοῦ.

Εὐχαριστῶ τῷ θεῷ μου, πάντοτε μνείαν[8] σου ποιούμενος ἐπὶ τῶν 4
προσευχῶν μου, ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν ἣν ἔχεις 5
πρὸς τὸν κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία 6
τῆς πίστεώς σου ἐνεργὴς[10] γένηται ἐν ἐπιγνώσει[11] παντὸς ἀγαθοῦ τοῦ
ἐν ἡμῖν εἰς χριστὸν Ἰησοῦν. Χάριν γὰρ ἔχομεν πολλὴν καὶ 7
παράκλησιν[12] ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα[13] τῶν ἁγίων
ἀναπέπαυται[14] διὰ σοῦ, ἀδελφέ.

Διὸ πολλὴν ἐν χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν[15] σοι τὸ ἀνῆκον,[16] 8
διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς Παῦλος
πρεσβύτης,[17] νυνὶ[18] δὲ καὶ δέσμιος[1] Ἰησοῦ χριστοῦ. Παρακαλῶ σε 10
περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς[19] μου, Ὀνήσιμον,[20]

[1] δέσμιος, ου, ὁ, prisoner, one bound. [2] Τιμόθεος, ου, ὁ, Timothy. [3] Φιλήμων, ονος, ὁ, Philemon. [4] συνεργός, οῦ, ὁ, fellow worker. [5] Ἀπφία, ας, ἡ, Apphia. [6] Ἄρχιππος, ου, ὁ, Archippus. [7] συστρατιώτης, ου, ὁ, fellow soldier. [8] μνεία, ας, ἡ, remembrance, mention. [9] κοινωνία, ας, ἡ, fellowship, contribution. [10] ἐνεργής, effective, active. [11] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [12] παράκλησις, εως, ἡ, exhortation, consolation. [13] σπλάγχνα, ων, τά, bowels, compassion. [14] ἀναπαύω, refresh, take rest. [15] ἐπιτάσσω, command, give order. [16] ἀνήκω, be fit, be proper. [17] πρεσβύτης, ου, ὁ, old man. [18] νυνί, now, already. [19] δεσμός, οῦ, ὁ, chain, bond. [20] Ὀνήσιμος, ου, ὁ, Onesimus.

τόν ποτέ σοι ἄχρηστον,[1] νυνὶ[2] δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον,[3] ὃν 11
ἀνέπεμψα:[4] σὺ δὲ αὐτόν, τοῦτ᾽ ἔστιν τὰ ἐμὰ σπλάγχνα,[5] προσλαβοῦ:[6] 12
ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν,[7] ἵνα ὑπὲρ σοῦ διακονῇ 13
μοι ἐν τοῖς δεσμοῖς[8] τοῦ εὐαγγελίου: χωρὶς δὲ τῆς σῆς[9] γνώμης[10] 14
οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην[11] τὸ ἀγαθόν σου ᾖ,
ἀλλὰ κατὰ ἑκούσιον.[12] Τάχα[13] γὰρ διὰ τοῦτο ἐχωρίσθη[14] πρὸς ὥραν, 15
ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς:[15] οὐκέτι ὡς δοῦλον, ἀλλ᾽ ὑπὲρ δοῦλον, 16
ἀδελφὸν ἀγαπητόν, μάλιστα[16] ἐμοί, πόσῳ[17] δὲ μᾶλλον σοὶ καὶ ἐν
σαρκὶ καὶ ἐν κυρίῳ. Εἰ οὖν με ἔχεις κοινωνόν,[18] προσλαβοῦ[6] αὐτὸν ὡς 17
ἐμέ. Εἰ δέ τι ἠδίκησέν[19] σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει:[20] ἐγὼ 18
Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω:[21] ἵνα μὴ λέγω σοι ὅτι καὶ
σεαυτόν μοι προσοφείλεις.[22] Ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην[23] ἐν 20
κυρίῳ: ἀνάπαυσόν[24] μου τὰ σπλάγχνα[5] ἐν κυρίῳ. Πεποιθὼς τῇ 21
ὑπακοῇ[25] σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. Ἅμα[26] 22
δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν:[27] ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν
χαρισθήσομαι[28] ὑμῖν.

Ἀσπάζονταί σε Ἐπαφρᾶς[29] ὁ συναιχμάλωτός[30] μου ἐν χριστῷ Ἰησοῦ, 23
Μάρκος,[31] Ἀρίσταρχος,[32] Δημᾶς,[33] Λουκᾶς,[34] οἱ συνεργοί[35] μου.

[1] ἄχρηστος, useless, worthless. [2] νυνί, now, already. [3] εὔχρηστος, useful, serviceable. [4] ἀναπέμπω, send back. [5] σπλάγχνα, ων, τά, bowels, compassion. [6] προσλαμβάνω, take to myself, welcome. [7] κατέχω, hold back, hold fast. [8] δεσμός, οῦ, ὁ, chain, bond. [9] σός, your, yours. [10] γνώμη, ης, ἡ, purpose, opinion. [11] ἀνάγκη, ης, ἡ, necessity, distress. [12] ἑκούσιος, voluntary, of free will. [13] τάχα, perhaps, possibly. [14] χωρίζω, separate, depart. [15] ἀπέχω, received, obtain. [16] μάλιστα, especially, most of all. [17] πόσος, how many? how great? [18] κοινωνός, οῦ, ὁ, partner, sharer. [19] ἀδικέω, do wrong, harm. [20] ἐλλογέω, charge to one's account, impute. [21] ἀποτίνω, pay back, repay. [22] προσοφείλω, owe besides, still owe. [23] ὀνίνημι, help, profit. [24] ἀναπαύω, refresh, take rest. [25] ὑπακοή, ῆς, ἡ, obedience. [26] ἅμα, at the same time. [27] ξενία, ας, ἡ, hospitality, lodging place. [28] χαρίζομαι, give freely, forgive. [29] Ἐπαφρᾶς, ᾶ, ὁ, Epaphras. [30] συναιχμάλωτος, ου, ὁ, fellow prisoner, fellow captive. [31] Μᾶρκος, ου, ὁ, Mark. [32] Ἀρίσταρχος, ου, ὁ, Aristarchus. [33] Δημᾶς, ᾶ, ὁ, Demas. [34] Λουκᾶς, ᾶ, ὁ, Luke, Lucas. [35] συνεργός, οῦ, ὁ, fellow worker.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. 25

Ἀμήν.